UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

## Isidorus <Pelusiota>

## Parisiis, 1585

Paulo Preabytero. 354.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Τῷ αὐτῷ. τνβ.

Ἐκεῖνον μόνον ἂν ἔγωγε ζῆν κυρίως ὁρισαίμην, τὸν τῶν σωματικῶν παθῶν κρείττονα καὶ ἀνώτερον. ὁ γὰρ ἐκείνοις ἑαυτὸν ὑποζεύξας, καὶ κατὰ κράτος ὑπ' αὐτῶν ἐλαυνόμενος, οὐ μόνον εἰς τὸ ἔσχατον τελευτᾷ βάραθρον. ἀλλ' οὐδὲ ζῆν ἐνταῦθα δύναται διὰ τὰς ἐξ αὐτῶν λύπας, καὶ τοὺς φόβους, καὶ τοὺς κινδύνους, καὶ τὸν μυρίον αὐτῶν ἑσμόν. ἄντε γὰρ θάνατος προσδοκηθῇ, τέθνηκε καὶ περὶ τοῦ θανάτου τῷ δέει. ἄντε νόσος, ἄντε ὕβρεις, ἄντε πενία, ἄν τε ἕτερόν τι τῶν ἀδοκήτων ἀπόλωλε καὶ ἀπὸ τῆς ὑπονοίας μόνης, καὶ διέφθαρται. ἀλλ' οὐχ ὁ τῶν παθῶν κρατῶν τοιοῦτος· ἀλλὰ καὶ φόβων, καὶ κινδύνων, καὶ μεταβολῆς ἁπάσης ἕστηκεν ὑψηλότερος, οὐ τῷ μηδὲν ὑπομένειν. τοῦτο γὰρ ἴσως ἀμήχανον, ἀλλ' ὃ καὶ πολλῷ μεῖζόν ἐστι καὶ παραδοξότερον ποιεῖ τὸ τρόπαιον, τὸ καὶ προσβαλλόντων αὐτῶν καὶ ἀκροβολιζομένων, καὶ κατατοξευόντων καταφρονεῖν.

*Eidem.* 352.

Eum equidẽ ipse solũ propriè viuere statuerim, qui in corporis passionibus prestãtiorem ac sublimiorem se prębet. Nam qui seipsum illis subiecit, atque ab iis summa vi exagitatur, non modò in extremam exitij voraginem desinit, sed ne hîc quidem viuere potest, ob eas, quæ ab illis manant, molestias, & metus, & pericula, & infinitũ eorum examen. Nam siue mors expectetur, metu etiam antè morte exanimatur, siue morbus, siue contumelia, siue paupertas, siue aliud quiddam inopinati, etiam ex sola suspicione periit & extinctus est. At non in eadem causa est, qui turbulentis animi permotionibus dominatur: verùm & timoribus & periculis, ac denique omni mutatione superior est: non quòd nihil patiatur (hoc enim fortasse fieri nequit) sed, quod multò maius atque admirabilius trophæum efficit, quia ea impetum facientia, & velitantia, teláque mitti contemnat.

Τιμοθέῳ λαμπροτάτῳ. τνγ.

Εἰ καὶ Χαιρήμων, ὡς γέγραφας, ὁ Εὐσεβίου ὑπασπιστής, ἐκ τῆς αὐτοῦ συνουσίας ἠκονημένος πρὸς πᾶσαν κακίαν οἰστρᾷ, καὶ πίστιν οὐκ οἶδεν, ἀλλ' ἐπ' ἀδικίας ἀδείᾳ κέχρηται τοῖς ὅρκοις. σπένδεται γὰρ, καὶ μένει ἀκήρυκτος, συνθήκας ποιεῖται καὶ λύει. ὄμνυσι καὶ πανουργίας ἐφόδιον ἔχει τοὺς ὅρκους. ἀλλά γε ὁ τοῦτον συγκροτῶν παρ' ἐμοὶ κριτῇ, νῦν μὲν καρποῦται τῶν κακιῶν τὴν αἰτίαν. ὕστερον δὲ καὶ τῆς δίκης τὸ πλέον καρπώσεται.

*Timotheo clarissimo.* 353.

Et si Chęremon, vt scripsisti, ille, inquam, Eusebij stipator, ex ipsius consuetudine atque familiaritate exacutus, ad omne scelus tanquam œstro quodam incitatur, nec fidem agnoscit, verùm ad iniquitatis licentiam iureiurando abutitur (recõciliationis enim fœdera percutit, & implacabilis manet: pacta init, & rescindit: iurat, & fraudis materiam atque instrumentum iuramenta habet:) attamen meo iudicio is, qui eum tuetur, nunc quidem scelerum ipsius culpam percipit: postea autem ampliorem etiam supplicij partem percipiet.

Παύλῳ πρεσβυτέρῳ. τνδ.

Τῷ ἱερωμένῳ πλοῦτος μὲν ὁ τῆς ἀρετῆς κόσμος, ἡδονὴ δὲ ἡ σωφροσύνη, τρυφὴ δὲ ἡ αὐτάρκεια, εὐφροσύνη δὲ ἡ τῶν ὑπηκόων πρὸς ἀρετὴν ἐπίδοσις· εἰ δέ τις τἀναντία τούτων ἐπιτηδεύων

*Paulo Presbytero.* 354.

Sacerdoti pro opibus est virtutis ornamentum, pro voluptate castitas, pro luxu frugalitas, pro lætitia, eorũ, quibus præest, ad virtutem incrementum: Quòd si quis contraria his instituta sequens, sacerdotij

nomine gloriatur, hic prophanus eſt, atque imperio indignus.

*Martyrio Presbytero.* 355.

Si humanas affectiones ( quod ne dictu quidem fas eſt ) per omnia ſequatur, qui diuinam generationē deſcribit, illud meritò audire queat, Si tibi circa generationem affectio fingitur, & mihi quoque circa creationem. neque enim id quod creatur (ſi imbecilles hominum cogitationes ſequar) abſque affectione creatur. Sin autem, vt diuinitati cōſentaneum eſt, ea quidem, quæ puriſsimæ illi eſſentiæ conueniunt, admittat, quæ autem aliena & abſona ſunt, prætereat, illud, ſi modò ſanæ rationis eſt, cogitare debet, quòd quoniā mortalis ad hunc modum gignit, immortalis non item: quemadmodum videlicet in creando ille cum labore, hic contra laborem creat. Hæc enim ſecum reputans, illa quoque oculatiſsima mens, ac velut diuino numine correpta, terrenis omnibus exemplis præteritis gloriæ, & figuram paternæ ſubſtantiæ, Filium haud immeritò definiuit: per illud nimirum coæternitatem, per hoc autem eum perſonam conſtituere demonſtrans. Quandoquidē enim prius, quòd hypoſtaſis expers eſſet, ſpeciē fortaſſe atque imaginationem nonnullis pariebat, idcirco per poſterius hypoſtaſim hypoſtaſeωn efficientēm notauit.

*Eidem.* 356.

Videris ea, quæ ad hoc vſque tempus fiunt, minimè perſpecta habere, ac propterea per literas ex me quæſiiſſe, quamnā ob cauſam, cùm Darius tres duces inſtituiſſet (inter quos etiam Daniel erat) vt centum & viginti prefectis ab eo deſignatis præeſſent, Scriptura eum comparans, pro eo atque ipſum æqualibus duntaxat cōferri oportebat, cum iis etiam, qui multo inferiores erant, comparabat. Abunde enim, inquis, erat collegarum præcellentia ad illud iudicandum, eum aduerſus inferiores quoque victoriā obtinuiſſe. Nunc

ἱερωσύνης ὀνόματι ἐναβρύνεται, οὗτος ἀνίερος τυγχάνει, καὶ τῆς ἀρχῆς ἀνάξιος.

Μαρτυρίῳ πρεσβυτέρῳ. τνε.

Εἰ μὲν τοῖς ἀνθρωπίνοις πάθεσιν, ὅπερ οὐδὲ εἰπεῖν θέμις, κατὰ πάντα ἕποιτο ὁ τὴν θείαν γέννησιν ὑπογράφων, ἀκοῦσαι ἂν εἴη δίκαιος, ὅτι εἴ σοι πάθος πλάττεται περὶ τὴν γέννησιν, κἀμοὶ περὶ τὴν κτίσιν. οὐδὲ γὰρ τὸ κτιζόμενον, εἰ τοῖς ἀσθενέσι τῶν ἀνθρώπων λογισμοῖς ἑποίμην, ἀπαθῶς κτίζεται. εἰ δὲ θεοπρεπῶς, τὰ μὲν ἁρμόττοντα τῇ ἀκηράτῳ οὐσίᾳ καταδέξοιτο, τὰ δὲ ἀπηχῆ παραπεμπέσθω, ἐννοῆσαι ὀφείλει εἴγε τὸ λογιστικὸν ἐρρωμένον ἔχει, ὅτι ἐπειδὴ ὁ θνητὸς οὕτως τίκτει, ὁ ἀθάνατος οὐχ οὕτως· ὥσπερ οὖν καὶ ὁ κτίζων, ὁ μὲν μετὰ πόνου, ὁ δὲ ἀμογητὶ κτίζει. ταῦτα γὰρ ἐννοήσας καὶ ὁ πολυόμματος νοῦς, καὶ ὥσπερ ἔνθους γενόμενος, πάντα τὰ γήϊνα παραδείγματα παραδραμὼν, ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτῆρα τῆς ὑποστάσεως τῆς πατρικῆς, τὸν υἱὸν εἰκότως ὡρίσατο, τῷ μὲν τὸ συναΐδιον, τῷ δὲ τὸ ἐνυπόστατον παριστάς. ἐπειδὴ γὰρ τὸ πρῶτον ἀνυπόστατον φαντασίαν ἴσως τισὶν ἔτικτε, διὰ τοῦ δευτέρου τὴν ὑποστάσεων ποιητικὴν ὑπόστασιν ἐχαρακτήρισε.

Τῷ αὐτῷ. τνϛ.

Ἔοικας οὐ συνορᾶν τὰ μέχρι νῦν γινόμενα, καὶ διὰ τοῦτο γεγραφέναι δι' ἣν αἰτίαν Δαρείου τοῦ μήδου τρεῖς τακτικοὺς χειροτονήσαντος, ὧν εἷς ἦν καὶ ὁ Δανιὴλ, ὥστε ἄρχειν τῶν χειροτονηθέντων παρὰ αὐτοῦ ἑκατὸν εἴκοσιν ἀρχόντων, συγκρίνουσα αὐτὸν ἡ γραφὴ, δέον τοῖς ἴσοις μόνον συγκρῖναι, καὶ τοῖς πολλῷ ὑποδεεστέροις συνέκρινεν. ἤρκει γὰρ, ἔφης, ἡ τῶν συντεταγμένων ὑπεροχὴ, καὶ τὴν κατὰ τῶν ὑποτεταγμένων νίκην ἐνδείξασθαι. νῦν δὲ φησὶ, Καὶ ἦν Δανιὴλ ὑπὲρ τοὺς τακτι-